εὐχαριστηρίους ὕμνους τῷ θεῷ ἀνέπεμπον· καὶ οὕτω λαβόντες τὸν βασιλέα σκιρτῶντες εἰσῆλθον ἐν τῇ πόλει.

Ἀράβων ἀρχηγὸς Μωαμὲδ ἔτη θʹ.

Περσῶν βασιλεὺς Ἀδεσὴρ μῆνας ἑπτά.

629 p. Chr. Τούτῳ τῷ ἔτει ἀπάρας ὁ βασιλεὺς ἅμα τῷ ἔαρι ἀπὸ τῆς βασιλευούσης πόλεως ἐπὶ τὰ Ἱεροσόλυμα ἐπορεύετο, ἀπαγαγὼν τὰ τίμια καὶ ζωοποιὰ ξύλα τοῦ ἀποδοῦναι τῷ θεῷ τὴν εὐχαριστίαν. Ἐλθόντι δὲ αὐτῷ ἐν Τιβεριάδι κατηγόρησαν οἱ Χριστιανοὶ Βενιαμίν τινα ὀνόματι, ὡς κακοποιοῦντα αὐτούς· ἦν γὰρ ἐνούσιος σφόδρα, καὶ ὑπεδέξατο τὸν βασιλέα καὶ τὸν στρατὸν αὐτοῦ. Ὁ δὲ βασιλεὺς κατέκρινεν αὐτὸν λέγων· διὰ ποίαν αἰτίαν κακοποιεῖς τοὺς Χριστιανούς; Ὁ δὲ εἶπεν· ὡς ἐχθροὺς τῆς πίστεώς μου. Ἦν γὰρ Ἰουδαῖος. Ὁ δὲ βασιλεὺς νουθετήσας αὐτὸν καὶ πείσας ἐβάπτισεν εἰς τὸν οἶκον Εὐσταθίου τοῦ Νεαπολίτου, Χριστιανοῦ ὄντος, καὶ αὐτοῦ ὑποδεξαμένου τὸν βασιλέα. Εἰσελθὼν δὲ ὁ βασιλεὺς ἐν Ἱεροσολύμοις, καὶ ἀποκαταστήσας Ζαχαρίαν τὸν πατριάρχην καὶ τὰ τίμια καὶ ζωοποιὰ ξύλα εἰς τὸν ἴδιον τόπον, καὶ πολλὰ εὐχαριστήσας τῷ θεῷ, ἀπήλασεν τοὺς Ἑβραίους ἀπὸ τῆς ἁγίας πόλεως, κελεύσας μὴ ἔχειν αὐτοὺς ἐξουσίαν ἀπὸ τριῶν μιλίων τῇ ἁγίᾳ πόλει πλησιάζειν. Καταλαβὼν δὲ τὴν Ἔδεσσαν ἀπέδωκεν τὴν ἐκκλησίαν τοῖς ὀρθοδόξοις, ὑπὸ Νεστοριανῶν κατεχομένην ἀπὸ Χοσρόου. Καὶ ἐλθὼν εἰς τὴν Ἱεράπολιν ἤκουσεν, ὅτι Σιρόης τέθνηκεν ὁ τῶν Περσῶν βασιλεύς, Ἀδεσὴρ δὲ ὁ τούτου υἱὸς τὴν βασιλείαν τῶν Περσῶν παρέλαβεν. Τούτου δὲ μῆνας ἑπτὰ κρατήσαντος τῆς ἀρχῆς ἐπανέστη αὐτῷ Σαρβαραζᾶς· καὶ τοῦτον πατάξας ἐβασίλευσεν τῶν Περσῶν μῆνας δύο. Τοῦτον δὲ ἀνελόντες οἱ Πέρσαι Βοράνην κατε-

2) ἐν τῇ πόλει om. M.

4) Περσῶν βασ. μῆνας ζ. Ἀδεσὴρ M.

5) ἅμα τῷ ἔαρι vulg. Anast. *(cum mox ver accessisset)*; ἅμα ἱερεῦσιν *(cum viris sanctis)* A.; ἅμα ἱερεία f. M.

8) Βενιαμήν τινα M.

12) ὁ δὲ εἶπεν om. M. — διὰ ποίαν . . Χριστ. vulg. Anast.: *quam ob rem molestus es Christianis?* Ubi H. Misc. addit: *et fidei meae.* — ὁ δὲ . . Ἰουδαῖος om. H. Misc. — εἶπεν vulg. Anast.; ἀπεκρίθη A.; om. f.

13) τότε ὁ β. M.

13) αὐτὸν add. ex A. Anast. H. Misc.

14) Εὐσταθίου vulg.; *Eustachii* Anast. H. Misc., confusione Latinis tritissima. — τοῦ ante Εὐστ. om. M. cum vulg.; addidit A. — καὶ αὐτὸς ὑποδεξάμενος M.

16) Pro ἀποκαταστήσας . . εὐχ. τῷ θεῷ sic M.: καὶ τοῦ πατριάρχου Ζαχαρίου τελευτήσαντος μετὰ τὸ ἐλθεῖν αὐτὸν ἐν Παλαιστίνῃ ἀπὸ αἰχμαλωσίας. Τοῦ δὲ ἁγίου Μοδέστου καὶ ἀρχημανδρίτου (sic) τῆς μονῆς τοῦ ἁγίου Θεοδοσίου τοῦ κτίσαντος τὴν ἁγίαν